3 ψόμεθα σῖτον καὶ φαγόμεθα καὶ ζησόμεθα. [3]καὶ εἰσίν τινες λέγον-
τες Ἀγροὶ ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν, ἡμεῖς διεγ-
4 γυῶμεν · καὶ λημψόμεθα σῖτον καὶ φαγόμεθα. [4]καὶ εἰσίν τινες λέ-
γοντες Ἐδανεισάμεθα ἀργύριον εἰς φόρους τοῦ βασιλέως, ἀγροὶ
5 ἡμῶν καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν · [5]καὶ νῦν ὡς σὰρξ
ἀδελφῶν ἡμῶν σὰρξ ἡμῶν, ὡς υἱοὶ αὐτῶν υἱοὶ ἡμῶν · καὶ ἰδοὺ
ἡμεῖς καταδυναστεύομεν τοὺς υἱοὺς ἡμῶν καὶ τὰς θυγατέρας ἡμῶν
εἰς δούλους, καὶ εἰσὶν ἀπὸ θυγατέρων ἡμῶν καταδυναστευόμεναι,
καὶ οὐκ ἔστιν δύναμις χειρῶν ἡμῶν, καὶ ἀγροὶ ἡμῶν καὶ ἀμπελῶ-
6 νες ἡμῶν τοῖς ἐντίμοις. — [6]καὶ ἐλυπήθην σφόδρα, καθὼς ἤκουσα
7 τὴν κραυγὴν αὐτῶν καὶ τοὺς λόγους τούτους. [7]καὶ ἐβουλεύσατο
καρδία μου ἐπ' ἐμέ, καὶ ἐμαχεσάμην πρὸς τοὺς ἐντίμους καὶ τοὺς
ἄρχοντας καὶ εἶπα αὐτοῖς Ἀπαιτήσει ἀνὴρ τὸν ἀδελφὸν αὐτοῦ
8 ὑμεῖς ἀπαιτεῖτε. καὶ ἔδωκα ἐπ' αὐτοὺς ἐκκλησίαν μεγάλην [8]καὶ εἶπα
αὐτοῖς Ἡμεῖς κεκτήμεθα τοὺς ἀδελφοὺς ἡμῶν τοὺς Ιουδαίους τοὺς
πωλουμένους τοῖς ἔθνεσιν ἐν ἑκουσίῳ ἡμῶν · καὶ ὑμεῖς πωλεῖτε
9 τοὺς ἀδελφοὺς ὑμῶν; καὶ ἡσύχασαν καὶ οὐχ εὕροσαν λόγον. [9]καὶ
εἶπα Οὐκ ἀγαθὸς ὁ λόγος, ὃν ὑμεῖς ποιεῖτε · οὐχ οὕτως, ἐν φόβῳ
θεοῦ ἡμῶν ἀπελεύσεσθε ἀπὸ ὀνειδισμοῦ τῶν ἐθνῶν τῶν ἐχθρῶν
10 ἡμῶν. [10]καὶ οἱ ἀδελφοί μου καὶ οἱ γνωστοί μου καὶ ἐγὼ ἐθήκαμεν ἐν
αὐτοῖς ἀργύριον καὶ σῖτον · ἐγκαταλίπωμεν δὴ τὴν ἀπαίτησιν ταύ-
11 την. [11]ἐπιστρέψατε δὴ αὐτοῖς ὡς σήμερον ἀγροὺς αὐτῶν, ἀμπε-
λῶνας αὐτῶν, ἐλαίας αὐτῶν καὶ οἰκίας αὐτῶν · καὶ ἀπὸ τοῦ ἀρ-
γυρίου τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον ἐξενέγκατε αὐτοῖς.
12 [12]καὶ εἶπαν Ἀποδώσομεν καὶ παρ' αὐτῶν οὐ ζητήσομεν · οὕτως
ποιήσομεν, καθὼς σὺ λέγεις. καὶ ἐκάλεσα τοὺς ἱερεῖς καὶ ὥρκισα
13 αὐτοὺς ποιῆσαι ὡς τὸ ῥῆμα τοῦτο. [13]καὶ τὴν ἀναβολήν μου ἐξ-
ετίναξα καὶ εἶπα Οὕτως ἐκτινάξαι ὁ θεὸς πάντα ἄνδρα, ὃς οὐ
στήσει τὸν λόγον τοῦτον, ἐκ τοῦ οἴκου αὐτοῦ καὶ ἐκ κόπου αὐ-
τοῦ, καὶ ἔσται οὕτως ἐκτετιναγμένος καὶ κενός. καὶ εἶπεν πᾶσα ἡ
ἐκκλησία Αμην, καὶ ᾔνεσαν τὸν κύριον · καὶ ἐποίησεν ὁ λαὸς τὸ
ῥῆμα τοῦτο.
14 [14]Ἀπὸ τῆς ἡμέρας, ἧς ἐνετείλατό μοι εἶναι εἰς ἄρχοντα αὐτῶν
ἐν γῇ Ιουδα, ἀπὸ ἔτους εἰκοστοῦ καὶ ἕως ἔτους τριακοστοῦ καὶ

**15** (𝔐 Neh. 5) 5 και $1^0$ > BS† | αυτων .. ημων $3^0$] tr. BS† | ημων $4^0 \frown 5^0$ S† | δουλας B† | χειρος $BS^c$† (*L*† ουκ ισχυει η χειρ pro ουκ εστιν δυν. χειρων) || 7 ανηρ] pr. ο BS† || 8 υμων] ημ. BS† || 9 ο > B† | επελευσ. S† | των εθνων *L*] > BSA || 10 εν αυτοις codex unus codici B cognatus] εαυτοις SA pl., αυτοις B† | εγκαταλιπωμεν Ra.] ενκατελιπομεν uel sim. mss. | δη] δε B*† || 11 αυτοις $1^0$] ς > B† | αμπελωνας B†] pr. και rel. | ελαιας B S†] ελαιωνας rel.; pr. και omn. exc. BA | το ελαιον > BS† | αυτοις ult. pau.] εαυτοις BSA || 14 init.] pr. και γε $S^c$*L*† | της > B